εὔχεcθε τὸν γέροντα cωθῆναι—κακῶc,
ἀνάπηρον ὄντα, χωλόν· οὕτω γίνεται
ἀλυπότατοc γὰρ τῶιδε γείτων τῶι θεῶι
καὶ τοῖc ἀεὶ θύουcιν. ἐπιμελὲc δέ μοι
τοῦτ᾽ ἐcτίν, ἄν τιc ἆρα μιcθώcητ᾽ ἐμέ.

(Cω.) ἄνδρεc, μὰ τὴν Δήμητρα, μὰ τὸν Ἀcκληπιόν,
μὰ τοὺc θεούc, οὐπώποτ᾽ ἐν τὠμῶι βίωι
εὐκαιρότερον ἄνθρωπον ἀποπεπνιγμένον
ἑόρακα μικροῦ. τῆc γλυκείαc διατριβῆc·
ὁ Γοργίαc γάρ, ὡc τάχιcτ᾽ εἰcήλθομεν,
εὐθὺc κατεπήδηc᾽ εἰc τὸ φρέαρ, ἐγὼ δὲ καὶ
ἡ παῖc ἄνωθεν οὐδὲν ἐποοῦμεν· τί γὰρ
ἐμέλλομεν; πλὴν ἡ μὲν αὑτῆc τὰc τρίχαc
ἔτιλλ᾽, ἔκλα᾽, ἔτυπτε τὸ cτῆθοc cφόδρα,
ἐγὼ δ᾽ ὁ χρυcοῦc, ὡcπερεὶ νὴ τοὺc θεοὺc
τροφὸc παρεcτώc, ἐδεόμην γε μὴ ποεῖν
τοῦθ᾽, ἱκέτευον, ἐμβλέπων ἀγάλματι
οὐ τῶι τυχόντι. τοῦ δὲ πεπληγμένου κάτω
ἔμελεν ἔλαττον ἤ τινόc μοι, πλὴν ἀεὶ
ἕλκειν ἐκεῖνον· τοῦτ᾽ ἐνώχλει μοι cφόδρα.
μικροῦ γε νὴ Δί᾽ αὐτὸν εἰcαπολώλεκα·
τὸ cχοινίον γὰρ ἐμβλέπων τῆι παρθένωι
ἀφῆκ᾽ ἴcωc τρίc. ἀλλ᾽ ὁ Γοργίαc Ἄτλαc
ἦν οὐχ ὁ τυχών· ἀντεῖχε καὶ μόλιc ποτὲ
ἀνενήνοχ᾽ αὐτόν. ὡc ἐκεῖνοc ἐξέβη
δεῦρ᾽ ἐξελήλυθ᾽· οὐ γὰρ ἐδυνάμην ἔτι
κατέχειν ἐμαυτόν, ἀλλὰ μικροῦ [τὴν κόρην
ἐφίλουν προcιών· οὕτω cφόδρ᾽ ε[
ἐρῶ. παραcκευάζομαι δή—τὴν θύραν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/85 UNIVERSITÄT LEIPZIG